# 03 NOIEMBRIE

# MEGALINARIA SF.CUVIOS-MUCENIC GHEORGHE DE LA NEAPOLIS-CAPADOCIA

ATENA,1970

www.tezaurliturgic.ro



# ΝΟΕΜΒΡΙΟΣ Γ΄
# ΓΕΩΡΓΙΟΣ ΝΕΟΣ ΙΕΡΟΜΑΡΤΥΣ ΝΕΑΠΟΛΙΤΗΣ
# ΑΚΟΛΟΥΘΙΑ

*(Γερασίμου μοναχοῦ Μικραγιανναννίτου, ἔκδοσις Ἱ. Ν. Ἁγ. Εὐσταθίου Νεαπόλεως Νέας Ἰωνίας, Ἀθῆναι, 1970)*

## ΜΕΓΑΛΥΝΑΡΙΑ

*Ἦχος γ΄. Ἀκατάληπτον ἐστί.*

Ἀνεδείχθης ἀληθῶς, ἱερέων καλλονή, ὦ Γεώργιε σοφέ, καὶ πιστῶν καταφυγή.
Βασιλεῖ τῶν οὐρανῶν, ἐστρατεύσω εὐσεβῶς, ὦ Γεώργιε σοφέ, καὶ καθεῖλες τὸν ἐχθρόν.
Γεγηθότες οἱ πιστοί, τῇ ἁγίᾳ σου σορῷ, ὦ Γεώργιε κλεινέ, σπεύδουσι μετὰ σπουδῆς.
Δεῦτε πάντες οἱ πιστοί, τῇ ἁγίᾳ σου σορῷ, προσκυνήσωμεν πιστῶς, ὦ Γεώργιε σοφέ.
Ἔπιδε ἐξ οὐρανοῦ, ὦ Γεώργιε σοφέ, τοὺς προστρέχοντας πιστῶς, τῇ ἁγίᾳ σου σορῷ.
Ζηλωτὰς ἔργων καλῶν, δεῖξον Μάρτυς τοῦ Χριστοῦ, τοὺς τὴν ἄθλησιν τὴν σήν, εὐφημοῦντας εὐσεβῶς.
Ἡ ἁγία σου σορός, ἁγιάζει μυστικῶς, τοὺς προσπίπτοντας αὐτῇ, μετὰ πίστεως θερμῆς.
Θαυμαστὴ ὡς ἀληθῶς, τοῦ λειψάνου σου σοφέ, εὐωδία ἡ σεπτή, κατευφραίνουσα ἡμᾶς.
Ἰατρεῖον νοητόν, ἡ ἁγία σου σορός, δέδεικται ὡς ἀληθῶς, Ἀθλοφόρε τοῖς πιστοῖς.

Καθαιρέτης τοῦ ἐχθροῦ, ἀνεδείχθης ἀληθῶς, ὦ Γεώργιε σοφέ, ἐναθλήσας ἀνδρικῶς.

Λάμπεις πᾶσι τοῖς πιστοῖς, ὡς λυχνία μυστική, τοῖς προσπίπτουσι σοφέ, τῇ ἁγίᾳ σου σορῷ.

Μύρα ἔβλυζε ποτέ, τὸ σὸν λείψανον σοφέ, νῦν δὲ νέμει τοῖς πιστοῖς, χάριν ἁγιαστικήν.

Νόσων ῥύου ψυχικῶν, καὶ παθῶν σωματικῶν, ὦ Γεώργιε ἡμᾶς, τοὺς τιμῶντάς σε πιστῶς.

Ξενοτρόπως ἐνεργεῖ, ἡ ἁγία σου σορός, ὦ Γεώργιε σοφέ, ἁγιάζουσα ἡμᾶς.

Ὅμιλοι τῶν εὐσεβῶν, κιβωρίῳ τῷ σεπτῷ, Γεωργίου τοῦ κλεινοῦ, σπεύσατε πανευλαβῶς.

Προσκυνεῖ πανευλαβῶς, λείψανόν σου τὸ σεπτόν, ἅπαν γένος τῶν πιστῶν, ὡς πηγὴν ἁγιασμοῦ.

Ῥῦσαι πάσης ἀπειλῆς, καὶ σεισμοῦ φθοροποιοῦ, τὸν λαόν σου τὸν πιστόν, ἱερὲ Γεώργιε.

Σὲ προστάτην ἀσφαλῆ, καὶ μεσίτην πρὸς Χριστόν, ἔχομεν Γεώργιε, τὴν ἁγίαν σου ψυχήν.

Τὴν ἁγίαν σου σορόν, ὡς ἁγίαν κιβωτόν, προσκυνοῦμεν εὐλαβῶς, ἱερεῦ Γεώργιε.

Ὑπὲρ πάντων τὸν Χριστόν, καθικέτευε ἀεί, τῶν τιμώντων σε πιστῶς, Μυροβλύτα θαυμαστέ.

Φλέξον πᾶσαν τοῦ ἐχθροῦ, τὴν μανίαν καθ’ ἡμῶν, ἐνεργείᾳ μυστικῇ, τοῦ λειψάνου σου σοφέ.

Χαίρει ἅπας εὐσεβής, προσιὼν πανευλαβῶς, κιβωρίῳ ἱερῷ, τοῦ λειψάνου σου σοφέ.

Ψάλλοντές σου τὰς ᾠδάς, ἱερὲ Γεώργιε, παριστάμεθα πιστῶς, τῇ ἁγίᾳ σου σορῷ.

*Δόξα. Τριαδικόν.*

Ὢ Ὑπέρθεε Τριάς, ῥῦσαι ἅπαντας ἡμᾶς, Γεωργίου ταῖς λιταῖς, πολυτρόπων συμφορῶν.

*Καὶ νῦν. Θεοτοκίον.*

Ὡς τεκοῦσα τὸν Χριστόν, Μητροπάρθενε ἁγνή, ῥύου πάντοτε ἡμᾶς, συμφορῶν καὶ πειρασμῶν.